Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars III. Sub Cælestino papa I. anno CCCCXXXI.

Parisiis, 1644

Exemplvm Sacrae legis contra Nestorium.

urn:nbn:de:hbz:466:1-15241

Visual Library

## *EXEMPLUM SACRÆ legis contra Nestorium.*

CAP. XLV. CULTUS ac veneratio, quam sanctissimæ religioni debemus, postulat, ut illi qui impie erga diuinum numen affecti sunt, meritis pœnis subiiciantur, & nomine quod prauitati eorum conueniat, eiusmodi appellentur; ut hac infamia notati, æternam errorum suorum *pœnam sustineant; & neque dum viuunt supplicio, neque post mortem dedecore vnquam careant. Cum ergo Nestorius portentosæ doctrinæ dux damnationis sententiam iam exceperit, superest ut opinionis illius socios, impietatisque consortes damnato nomine *comprehendamus; ne Christianorum appellatione abusi, eorum decorentur vocabulo, a quorum dogmate sua impietate desciuerunt. Quamobrem hac lege sancimus, quotquot vbicumque execrandæ opinionis Nestorii sequaces extiterint, eos Simonianorum nomine appellandos esse. Æquum est enim, ut qui auersi a Deo impietatem Simonis æmulantur, eamdem cum illo appellationem sortiantur. Quo etiam modo Ariani sanctione beatæ memoriæ Constantini, vocati sunt Porphyriani, quod Porphyrio similem impietatem imbibissent. Hic enim sermonis vi & efficacia veram religionem expugnare conatus, libros sibi potius infamiæ, quam eruditionis commentaria reliquit.

Decernimus præterea, ne quis impios nefarii sacrilegiq; Nesto-

*ignominiam

* plectamus;

## ΑΝΤΙΓΡΑΦΟΝ ΘΕΙΟΥ νόμου κατὰ Νεστορίου.

ΤΟ τῇ εὐσεβεστάτῃ θρησκείᾳ παρ' ἡμῶν ὀφειλόμενον σέβας τοὺς περὶ τὸ θεῖον ἀσεβῶς ἔχοντας δίκαις τε ἀξίαις κολάζεσθαι, καὶ *ὀνόματι τῇ αὐτῶν φαυλότητι *πρέποντι προσαγορεύεσθαι βούλεται· ὡς ἂν ὀνείδεσι περιβληθέντες αἰώνιον ὑπομένοιεν *τιμωρίαν τῶν ἁμαρτημάτων· καὶ μήτε ζῶντας τιμωρίας, μήτε θανόντας ἀτιμίας ἐκτὸς ὑπάρχειν. Νεστορίου τοίνυν τοῦ τῆς τερατώδους διδασκαλίας ἡγεμόνος κατακεκριμένου, λείπεται τοὺς ὁμογνώμονας αὐτοῦ, καὶ τῆς ἀσεβείας κοινωνούς, ὀνόματι *περιλαβεῖν κατεγνωσμένῳ· ἵνα μὴ τῇ τῶν χριστιανῶν ἀποχρώμενοι προσηγορίᾳ, τούτῳ ὀνόματι κοσμοῖντο, ὧν τοῦ δόγματος δυσσεβοῦντες ἐξέστησαν. διὰ ταῦτα νομοθετοῦμεν, τοὺς ἁπανταχοῦ τῆς Νεστορίου ἀθεμίτου δόξης κοινωνούς, Σιμωνιανοὺς ὀνομάζεσθαι· προσήκει γὰρ τοὺς ἐν τῇ τοῦ θείου *ἀποστροφῇ τὸ ἐκείνου μιμουμένους δυσσέβημα, τὴν αὐτὴν ἐκείνῳ κληροῦσθαι προσηγορίαν. ὃν τρόπον Ἀρειανοὶ νόμῳ τοῦ τῆς θείας λήξεως Κωνσταντίνου, Πορφυριανοί, διὰ τὸ ὅμοιον τῆς ἀσεβείας ἐκ Πορφυρίου προσαγορεύονται· ὃς τὴν ἀληθῆ θρησκείαν ἐπιχειρήσας τῇ τοῦ λόγου δυνάμει καταγωνίσασθαι, βίβλοις *ἑαυτοῦ, οὐ *παιδεύσεως ὑπομνήματα καταλέλοιπε.

Καὶ μηδένα τολμᾶν, τὰς αὐτοῦ Νεστορίου τοῦ ἀθεμίτου τε καὶ ἱεροσυ-

* ὀνόματι

* πρέποντι

* ἀτιμίαν

* καθυποβαλεῖν

* ἀπηχεῖ

* Supplendum videtur ἑαυτοῦ κακοδοξίας, ex epistola Constantini hic citata quæ habetur sup.

* παιδεύματος

ANNO CHRISTI 431.

λου ἀσεβεῖς βίβλους περὶ τῆς εὐαγοῦς τῶν ὀρθοδόξων θρησκείας, καὶ κατὰ τῶν δογμάτων τῆς ἐν Ἐφέσῳ τῶν ἐπισκόπων ἁγίας συνόδου, κατέχειν, ἢ ἀναγινώσκειν, ἢ μεταγράφειν· ἃς δεῖ σπουδῇ πάσῃ ζητήσαντας, δημοσίᾳ ἐμπιμπρᾶσθαι. τούτῳ γὰρ τῷ τρόπῳ πάσης ἀσεβείας ῥιζόθεν ἐκκοπείσης, τὸ ἁπλοῦν καὶ εὐαπάτητον πλῆθος οὐδὲν πλάνης σπέρμα εὑρεῖν ποτε δυνήσεται. μηδὲ μνήμην τῶν οὕτως ἀπολλυμένων ἀνθρώπων ἔν τινι τῆς θρησκείας διαλέξει ἑτέρῳ ἢ τῷ Σίμωνος ὀνόματι ποιεῖσθαι. ἢ οἰκίαν αὐτοῖς, ἢ ἀγρὸν, ἢ προάστειον, ἢ ὁντιναοῦν ἄλλον τόπον συνόδου ἕνεκα, λεληθότως, ἢ φανερῶς παρέχειν. τοὺς γὰρ τοιούτους ὁρίζομεν πάσης συνόδου ἀδείας στερίσκεσθαι, προδήλου ὄντος ἅπασιν, ὡς ὁ παραβαίνων τε τὸν νόμον τοῦτον, καὶ Νεστόριον μιμούμενος δημεύσει τῶν ὑπαρχόντων τιμωρηθήσεται. ἡ μεγίστη τοίνυν καὶ περιφανὴς σου ἐξουσία ταύτην ἡμῶν τὴν διάταξιν εἰς γνῶσιν ἁπάντων τῶν τὰς ἐπαρχίας οἰκούντων, διατάγμασι συνήθως ἐλθεῖν παρασκευάσει. τὸν νόμον δὲ τοῦτον τῇ τε * Ῥωμαίων, τῇ τε Ἑλλήνων τεθείκαμεν γλώττῃ, ὡς πᾶσι σαφῆ καὶ γνώριμον εἶναι.

* Ῥωμαϊκῇ,

rii libros, quos de ſacra orthodoxorum religione & aduerſus dogmata epiſcoporum, qui in ſacra Epheſina Synodo conuenerunt, edidit, habeat, aut legat, aut tranſcribat: quos etiam omni ſtudio ac diligentia vndecumque conquiſitos publice concremari volumus. Hac enim ratione fiet, vt omni impietate radicitus exciſa, ſimplex multitudo, quæ dolis haud difficulter capi ſolet, nullam errandi occaſionem deinceps inueniat. Nullam præterea hominum adeo perditorum in vlla de religione diſputatione, niſi ſub Simonianorum nomine, mentionem fieri; nullamque domum, aut agrum, aut ſuburbanum, aut alium quemcumque locum conuentus cauſa occulte aut manifeſte eiſdem concedi. Decernimus enim huiuſmodi homines omni conuentus habendi facultate priuatos eſſe: cum neminem omnino latere debeat, quod quicumque noſtram hanc legem tranſgreſſus fuerit, & Neſtorium imitatus, omnium bonorum amiſſione multabitur. Summa proinde illuſtriſque auctoritas tua curet, vt noſtra hæc ſanctio omnibus prouincias incolentibus, edictis ex more propoſitis, nota fiat.

Hanc autem legem Romano ſimul & Græco ſermone edidimus, quo omnes illam perſpicue intelligere queant.